**Exegetisk genomgång av evangeliet för 1 Advent, 2018**

**Matteus 21:1-9**

Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα καὶ ἦλθον εἰς Βηθφαγὴ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, τότε Ἰησοῦς ἀπέστειλεν
δύο μαθητὰς

2 λέγων αὐτοῖς· πορεύεσθε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην καὶ
πῶλον μετ᾽ αὐτῆς· λύσαντες ἀγάγετέ μοι.
3 καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει·
εὐθὺς δὲ ἀποστελεῖ αὐτούς.

4 τοῦτο δὲ γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος·
5 *εἴπατε τῇ θυγατρὶ Σιών· ἰδοὺ ὁ*
*βασιλεύς σου ἔρχεταί σοι πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ ἐπὶ πῶλον υἱὸν ὑποζυγίου.*

6 πορευθέντες δὲ οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς
7 ἤγαγον τὴν ὄνον καὶ τὸν
πῶλον καὶ ἐπέθηκαν ἐπ᾽ αὐτῶν τὰ ἱμάτια, καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν.
8 ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν
ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ.
9 οἱ
δὲ ὄχλοι οἱ προάγοντες αὐτὸν καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες· *ὡσαννὰ* τῷ υἱῷ Δαυίδ· *εὐλογημένος*
*ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· ὡσαννὰ* ἐν τοῖς ὑψίστοις.

**Gemensamma ord och begrepp i 20:30-34 och 21:1-9**

| | |
|---|---|
| παρὰ τὴν ὁδόν (20:30) | ἐν τῇ ὁδῷ (21:8) |
| δύο (20:30) | δύο (21:2) |
| ἔκραξαν λέγοντες (20:30) | ἔκραζον λέγοντες (21:9) |
| υἱὸς Δαυίδ (20:30, 31) | τῷ υἱῷ Δαυίδ (21:9) |
| κύριε (20:30, 31) | ὁ κύριος/κυρίου (21:3, 9) |
| ὁ ὄχλος (20:31) | ὁ ὄχλος/οἱ ὄχλοι (21:8, 9) |
| εὐθέως (20:34) | εὐθέως (21:2) |
| ἠκολούθησαν (20:34) | οἱ ἀκολουθοῦντες (21:9) |